ἅδ᾽ ἔλαχον νασῖτις Ἴου σπιλάς· οὐ γὰρ ἐν ἄλλᾳ
ἱερὸν ἀλλ᾽ ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν,
ᾧ νεῦμα Κρονίδαο τὸ παγκρατές, ᾧ καὶ Ὄλυμπον
καὶ τὰν Αἴαντος ναυμάχον εἶπε βίαν
καὶ τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις
ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.
εἰ δ᾽ ὀλίγα κρύπτω τὸν ταλίκον, ἴσθ᾽ ὅτι κεύθει
καὶ Θέτιδος γαμέταν ἁ βραχύβωλος Ἴκος.

## IX

ἡρώων κάρυκ᾽ ἀρετᾶς, μακάρων δὲ προφήταν,
Ἑλλάνων βιοτᾷ δεύτερον ἀέλιον,
Μουσῶν φέγγος, Ὅμηρον, ἀγήραντον στόμα κόσμου
παντός, ἁλιρροθία, ξεῖνε, κέκευθε κόνις.

## X

οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μναμοσύνας, μάτηρ δ᾽ ἔξοχα Καλλιόπα.
τί φθιμένοις στοναχεῦμεν ἐφ᾽ υἱάσιν, ἁνίκ᾽ ἀλαλκεῖν
τῶν παίδων Ἀΐδαν οὐδὲ θεοῖς δύναμις;